20 καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ
περισσεῦον τῶν κλασμάτων δώδεκα κοφίνους πλήρεις. 21 οἱ δὲ
ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι χωρὶς γυναικῶν καὶ
παιδίων. 22 Καὶ εὐθέως ἠνάγκασεν τοὺς μαθητὰς ἐμβῆναι εἰς
τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ

(7) של ישו [2] ויאמר לנעריו זה הוא יוחנן
(8) הטובל הוא קם ממתים ועל כן הכחות יפעלו
(9) בו :[162] [3] והורודוס החזיק ביוחנן ויאסור אותו ונתנו
(10) בבית האסורים מפני הורודוסית אשת אחיו
(11) [4] כי אמרה אליו יוחנן אינו ראוי שיהיה עמך [5] וירצה
(12) להרוג אותו ויראה[163] את העם והיה בעיניהם
(13) כנביא :[164] [6] וביום מולדת הורודוס דילגה בתה
(14) של הורודוסית בתוך והיא ישרה בעיני ה[165]
(15) הורודוס [7] וישבע לה בשבועה לתת לה כל מה
(16) שתשאל ממנו [8] והיא נזהיה מאמה ותאמר
(17) תן לי פה בקערה ראשו של יוחנן הטובל :[166]
(18) [9] ויתעצב למלך אלא בעבור השבועה יבעבור
(19) אותם אשר ישבו עמו יחדיו בשלחן ציוה
(20) להנתן לה [10] וישלח ויקצץ ראשו של יוחנן אשר
(21) בבית הסוהר [11] ושינשא ראשו בקערה ויתנו
(22) אותו לנערה ויעשו כן וינתן לנערה והיא
(23) נשאו לאמה [12] ויגשו תלמידיו ויסירו את גופו
(24) ויקברוהו ויבאו ויגידו תלמידיו לישו [13] וכשמעו
(25) סר משם בספינה למקום המדבר לבדו

Page 33

(1) ותשמענה הכחות ותלכנה ברגליהם אחריו
(2) מעריהם [14] ויצא וירא את את עם רב וירחמם
(3) וירפא את חוליהם [15] ואחרי שהיה ערב קרבו א[167]
(4) אליו תלמידיו לאמור שמם המקום והשעה
(5) כבר עברה ועל כן הנח הכיתות כדי שתלכנה
(6) אל כפרים ותקנינה להם אוכל [16] ויאמר אליהם
(7) ישו לא יצטרכו[168] ללכת אתם[169] תנו להם לאכול
(8) [17] ויענו לו אין לנו פה כי אם חמשה לחם ושני
(9) דגים [18] ויאמר להם השיאום הלום אלי [19] ויצו את
(10) העם לשבת לאכול על החציר בשדה והוא
(11) לקח החמשה לחם והשני דגים וישא עיניו
(12) אל השמים ויברך וישבר ויתן הלחם לתלמידיו
(13) ותלמידיו נתנו לכיתות [20] ויאכלו כלם וישבעו
(14) ונשארו להם שנים עשר סלים מלאים מפת
(15) [21] ומספר האוכלים היה חמשה אלפי איש בלתי
(16) הנשים והטף [22] ומיד פצר ישו בתלמידיו לעלותם
(17) בספינה וללכתם לפניו עבר הים עד שיניח

τοὺς ὄχλους. 23 καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ. 24 τὸ δὲ πλοῖον ἤδη σταδίους πολλοὺς ἀπὸ τῆς γῆς ἀπεῖχεν βασανιζόμενον ὑπὸ τῶν κυμάτων, ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. 25 τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἦλθεν πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τὴν θάλασσαν. 26 οἱ δὲ μαθηταὶ ἰδόντες αὐτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα ἐταράχθησαν λέγοντες ὅτι φάντασμά ἐστιν, καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. 27 εὐθὺς δὲ ἐλάλησεν [ὁ Ἰησοῦς] αὐτοῖς λέγων· θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε. 28 ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπεν·

κύριε, εἰ σὺ εἶ, κέλευσόν με ἐλθεῖν πρός σε ἐπὶ τὰ ὕδατα. 29 [ὁ] δὲ εἶπεν· ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου [ὁ] Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα καὶ ἦλθεν πρὸς τὸν Ἰησοῦν. 30 βλέπων δὲ τὸν ἄνεμον [ἰσχυρὸν] ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξεν λέγων· κύριε, σῶσον με. 31 εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ· ὀλιγόπιστε, εἰς τί ἐδίστασας; 32 καὶ ἀναβάντων αὐτῶν εἰς τὸ πλοῖον ἐκόπασεν ὁ ἄνεμος. 33 οἱ δὲ ἐν τῷ πλοίῳ προσεκύνησαν αὐτῷ λέγοντες· ἀληθῶς θεοῦ υἱὸς εἶ. 34 Καὶ διαπεράσαντες ἦλθον ἐπὶ τὴν γῆν εἰς Γεννησαρέτ. 35 καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας 36 καὶ παρεκάλουν αὐτὸν ἵνα μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο διεσώθησαν.

15·1 Τότε προσέρχονται τῷ Ἰησοῦ ἀπὸ Ἱεροσολύμων Φαρισαῖοι καὶ γραμματεῖς λέγοντες· 2 διὰ τί οἱ μαθηταί σου παραβαίνουσιν τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας [αὐτῶν] ὅταν ἄρτον ἐσθίωσιν. 3 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· διὰ τί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν; 4 ὁ γὰρ θεὸς εἶπεν· τίμα τὸν πατέρα καὶ τὴν μητέρα, καί· ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω. 5 ὑμεῖς δὲ λέγετε· ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί· δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, 6 οὐ μὴ τιμήσει τὸν πατέρα αὐτοῦ· καὶ ἠκυρώσατε τὸν λόγον τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν. 7 ὑποκριταί, καλῶς ἐπροφήτευσεν περὶ ὑμῶν Ἠσαΐας ·

(18) הכיתות [23] וכשהניח את העם עלה לבדו על ההר
(19) להתפלל ויהי ערב והוא לבדו היה שם [24] והספינה
(20) נדפה בתוך הים מן הגלים כי הרוח היה
(21) להם להפך [25] ויהי ברביעית באשמורת הלילה
(22) ויבא אליהם וילך על הים [26] ורואים אותו מתהלך
(23) על הים ונבהלו ויאמרו כי מזיק הוא ויתצעקו
(24) מיראה [27] ופתאום דבר ישו אליהם לאמור בטחו
(25) כי אני הוא על תיראו :[170] [28] ויען כיפה ויאמר

Page 34

(1) אדני אם אתה הוא צוה ואבוא אליך על המים
(2) [29] והוא אמר בוא וירד כיפה מן הספינה וילך על
(3) המים לבא על ישו [30] וכשראה רוח חזקה ירא מאד
(4) פן יטבוע וצעק לאמר אדני הושיעני [31] ומיד
(5) נטה ישו את ידו ויאחוז בו ויאמר אליו קטון אתה
(6) באמונה למה וסתפקתה[171] [32] וכשעלה אל הספינה
(7) מיד נשתתק הרוח [33] וכשהיו בספינה באו ו[172]
(8) וישתחוו לו לאמור בעמת בן האלהים אתה
(9) [34] והם הלכו מעבר לים ויבאו בארץ גינוסר
(10)[35] ואנשי המקום ההוא כשידעו אותו שלחו אל
(11) כל הארץ הזאת ויגישו לו כלם אשר היו ברע
(12) [36] ויתחננן אליו כדי שיגעו בשפת בגדו וכלם
(13) אשר נגעו נושעו :[173]

Chapter 15

(14) **אז** קרבו אליו מירושלם סופרים ופרושים
(15) לאמר [2] למה תלמידיך יעברו את גזירות
(16) הזקנים כי הם לא יכבסו את ידיהם
(17) כאשר יאכלו את הלחם [3] והוא ענה עליהם
(18) ויאמר ולמה אתם עובדים את מצות האלהים
(19) בשביל גזרתכם [4] הלא כתוב בתורתכם מפי
(20) האלהים כבד את אביך ואת אמך וכתיב
(21) ומקלל אביו ואמו מות יומת [5] ואתם אומרים
(22) כל מי שיאמר לאב ולאם כל מתן שהוא ממני
(23) היא תועלתך ולא יכבד את אביו ואת אמו
(24) [6] ותפירו מצות האלהים בעבור גזירותיכם :[174]
(25) [7] אתם החנפים הרבה הטיב ישעיהו להנבא

λέγων 8 ὁ λαὸς οὗτος τοῖς χείλεσίν με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ· 9 μάτην δὲ σέβονταί με διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων.

10 καὶ προσκαλεσάμενος τὸν ὄχλον εἶπεν αὐτοῖς· ἀκούετε καὶ συνίετε· 11 οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος τοῦτο κοινοῖ τὸν ἄνθρωπον. 12 Τότε προσελθόντες οἱ μαθηταὶ λέγουσιν αὐτῷ· οἶδας ὅτι οἱ Φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν; 13 ὁ δὲ ἀποκριθεὶς εἶπεν· πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. 14 ἄφετε αὐτούς· τυφλοί εἰσιν ὁδηγοί [τυφλῶν]· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται.

15 Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· φράσον ἡμῖν τὴν παραβολὴν [ταύτην]. 16 ὁ δὲ εἶπεν· ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; 17 οὐ νοεῖτε ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; 18 τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον. 19 ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι. 20 ταῦτά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον, τὸ δὲ ἀνίπτοις χερσὶν φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον. 21 Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. 22 καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἔκραζεν λέγουσα· ἐλέησόν με, κύριε υἱὸς Δαυίδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. 23 ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτουν αὐτὸν λέγοντες· ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν.

24 ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. 25 ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ λέγουσα· κύριε, βοήθει μοι. 26 ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. 27 ἡ δὲ εἶπεν· ναὶ κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. 28 τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

29 Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς ἦλθεν παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, καὶ ἀναβὰς εἰς τὸ ὄρος ἐκάθητο

(1) עליכם לאמר [8] העם הזה בפיו ובשפתיו כבדוני
(2) ולבו רחק ממני [9] ותהי יראתם אותי מצות
(3) אנשים מלומדה [10] ויזעק לעצמו הכיתות
(4) ויאמר אליהם שמעו ודעו [11] מה שיבא לפה
(5) לא יטמא את האדם אבל מה שיצא מן הפה
(6) הוא יטמא את האדם [12] אז נגשו אליו תלמידיו
(7) ויאמרו דע כי הפרושים אשר שמעו הדבר
(8) הזה נכעסו [13] ויען ישו ויאמר כל מטע אשר
(9) לא נטע אבי שבשמים ינתש [14] הניחו אותם
(10) כי עורים הם ונוהגי העורים ואם עוד ינהג
(11) עוד אחר שניהם יפלו לבור :[175] [15] ויען כיפה
(12) [16] ויאמר אליו פרש לנו המשל הזה ויאמר ישו גם
(13) אתם לא התבוננתם [17] עד עתה לא התבוננתם
(14) כל מה שיבא לפה הוא יבא לבטן וישלח באחור[176]
(15) [18] ואשר יצאו מן הפה הם יצאו מלבב והם
(16) הם אשר יטמאו את האדם [19] כי מן הללב י[177]
(17) יצאו מחשבות רעות רצחים ניאופים זנונים
(18) גניבות עדות שקר וגדופים [20] הם הם אשר
(19) יטמאו את האדם אבל כשיאבל איש ולא ירחץ
(20) ידיו זה לא יטמא את האדם [21] ויצא משם ישו
(21) ויבא על חלקי צור וצידון [22] והנה אשה כנעניה
(22) יצאה מן הגבולים ההם ותצעק ותאמר אליו
(23) הנני אדני בן דוד כי בתי נענת מאד
(24) מאת השד [23] וישו לא ענה לה כלום ויקרבו
(25) תלמידיו ויתחננה איליו לאמר שלח אותה כי

Page 36

(1) היא צועקה אחרנו [24] והוא ענה ויאמר לא נשלחתי
(2) כי אם אל הצאן שנאבדו בבית ישראל [25] והיא
(3) באה ותשתחו לו ארצה ותאמר אדני הושיעני
(4) [26] ויען ישו ויאמר לא טוב לקחת לחם הבנים ולתת
(5) אותו לכלבים [27] וענתה היא ואמרה אמת כן אדני
(6) אבל הכלבים גם כן הם יאכלו מן הפתותים ה[178]
(7) הנופלים תחת שלחן אדוניהם [28] אז ענה ישו
(8) ויאמר לה האשה כמה גדולה אמונתך יהי לך
(9) כאשר בלבבך ותרפא בתה באותה השעה :[179]
(10) [29] יעבר משם ישו ויבא על ים הגליל ויעל להר וישב

ἐκεῖ.30 καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ ἔχοντες μεθ' ἑαυτῶν χωλούς, τυφλούς, κυλλούς, κωφούς, καὶ ἑτέρους πολλοὺς καὶ ἔρριψαν αὐτοὺς παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐθεράπευσεν αὐτούς· 31 ὥστε τὸν ὄχλον θαυμάσαι βλέποντας κωφοὺς λαλοῦντας, κυλλοὺς ὑγιεῖς καὶ χωλοὺς περιπατοῦντας καὶ τυφλοὺς βλέποντας· καὶ ἐδόξασαν τὸν θεὸν Ἰσραήλ. 32 Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν· σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσίν μοι καὶ οὐκ ἔχουσιν τί φάγωσιν· καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. 33 καὶ λέγουσιν αὐτῷ οἱ μαθηταί· πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι ὥστε χορτάσαι ὄχλον τοσοῦτον; 34 καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· πόσους ἄρτους ἔχετε; οἱ δὲ εἶπαν· ἑπτὰ καὶ ὀλίγα ἰχθύδια. 35 καὶ παραγγείλας τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τὴν γῆν 36 ἔλαβεν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας καὶ εὐχαριστήσας ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. 37 καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν. καὶ τὸ περισσεῦον τῶν κλασμάτων ἦραν ἑπτὰ σπυρίδας πλήρεις.

38 οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες χωρὶς γυναικῶν καὶ παιδίων. 39 Καὶ ἀπολύσας τοὺς ὄχλους ἐνέβη εἰς τὸ πλοῖον καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγαδάν.

16·1 Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι πειράζοντες ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς. 2 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· [ὀψίας γενομένης λέγετε· εὐδία, πυρράζει γὰρ ὁ οὐρανός· 3 καὶ πρωί· σήμερον χειμών, πυρράζει γὰρ στυγνάζων ὁ οὐρανός. τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε] 4 γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ. καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθεν.
5 Καὶ ἐλθόντες οἱ μαθηταὶ εἰς τὸ πέραν ἐπελάθοντο ἄρτους λαβεῖν. 6 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων. 7 οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες ὅτι ἄρτους οὐκ ἐλάβομεν. 8 γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν· τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἔχετε; 9 οὔπω νοεῖτε, οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων καὶ πόσους κοφίνους ἐλάβετε;

(11) שם [30] ותקרבנה אליו כיתות רבות ויהיו אתם
(12) חרשים עורים פסחים חלשים ואחרים רבים
(13) וישימו אותם לפני רגליו והוא רפא אותם
(14) [31] ויתמהו העם כשראו את החרשים מדברים ופסחים
(15) מהלכים ועורים רואים ויגדלו את אלהי ישראל
(16) [32] ויזעק ישו את תלמידיו ויאמר אליהם מרחם אני
(17) על העם בעד שלשה ימים ישבו אתי במדבר
(18) ואין להם מה שיאכלו ואיני מניח אותם צמים
(19) פן יתעלפו בדרך :[180] [33] ויאמרו אליו תלמידיו מאין
(20) לנו במדבר לחם כדי שנשביו את העם הזה
(21) [34] ויאמר להם ישו כמה ככרי לחם יש לכם ויענו
(22) ויאמרו שבעה ומעט דגים קטנים [35] ויצו את
(23) העם לשבת על הארץ [36] ויקח שבעה ככרי הלחם
(24) והדגים ויאמר תודה[181] וישבר ויתן לתלמידיו והם
(25) נתנו לעם [37] וכלם אכלו וישבעו וממה שנותר

Page 37

(1) מן הכיתות נשאו שבעו סלים מלאים [38] ויהיו אלה
(2) שאכלו ארבעה אלפי איש בלתי הטף והנשים[182]
(3) [39] ויניח את הכיתות ויעלו על הספינה ויבוא גבול
(4) מגדלה :[183]

Chapter 16

(5) **ויגשו** אליו פרושים וצדיקים מנסים
(6) ושואלים אותו שיראם אות אחד
(7) מן השמים [2] והוא ענה אותם
(8) ויאמר אליהם כשיהיה ערב תאמרו זוהר עתיד להיות
(9) מן השמים כי השמים יתאדמו [3] ובאור היום תהיה
(10) סעדה כי השמים הקודרים יתאדמו :[184] והנה
(11) את פני השמים ידעתם לשפוט ואותות העתים
(12) לא יכולתם לדעת [4] יחוס רע וזימה מבקשת אות
(13) ואות לא תנתן לה כי אם אות יונה הנביא :[185]
(14) ויעזוב אותם וילך [5] וכשבאו תלמידיו בעבר הים
(15) שכחו לקחת הלחם [6] והוא אמר להם ראו והשמרו
(16) ממחמצת פרושים וצדיקים [7] והם חשבו ביניהם
(17) לאמר כי לא לקחנו לחם [8] וידע ישו ויאמר מה
(18) אתם חושבים קטני אמונה כי לא לקחתם
(19) לחם [9] העוד לא תתבוננו ולא תזכרו חמשה
(20) לחם לחמשת אלפי איש וכמה סלים נשאתם

10 οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων καὶ πόσας
σπυρίδας ἐλάβετε; 11 πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτων εἶπον
ὑμῖν; προσέχετε δὲ ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ
Σαδδουκαίων. 12 τότε συνῆκαν ὅτι οὐκ εἶπεν προσέχειν ἀπὸ
τῆς ζύμης τῶν ἄρτων ἀλλὰ ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων
καὶ Σαδδουκαίων.

13 Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου
ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων· τίνα λέγουσιν οἱ ἄνθρωποι
εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; 14 οἱ δὲ εἶπαν· οἱ μὲν Ἰωάννην
τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἱερεμίαν ἢ ἕνα
τῶν προφητῶν. 15 λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε
εἶναι; 16 ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπεν· σὺ εἶ ὁ χριστὸς
ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. 17 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν
αὐτῷ· μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ
ἀπεκάλυψέν σοι ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. 18
κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ
οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ
κατισχύσουσιν αὐτῆς. 19 δώσω σοι τὰς κλεῖδας τῆς
βασιλείας τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς ἔσται
δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς
ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. 20 τότε διεστείλατο τοῖς
μαθηταῖς ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ χριστός. 21
Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ
ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν καὶ πολλὰ παθεῖν ἀπὸ
τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ
ἀποκτανθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. 22 καὶ
προσλαβόμενος αὐτὸν ὁ Πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων·
ἵλεώς σοι, κύριε· οὐ μὴ ἔσται σοι τοῦτο. 23 ὁ δὲ στραφεὶς
εἶπεν τῷ Πέτρῳ· ὕπαγε ὀπίσω μου, σατανᾶ· σκάνδαλον εἶ
ἐμοῦ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων. 24
Τότε ὁ Ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ· εἴ τις θέλει ὀπίσω
μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν
αὐτοῦ καὶ ἀκολουθείτω μοι. 25 ὃς γὰρ ἐὰν θέλῃ τὴν ψυχὴν
αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν
αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν. 26 τί γὰρ ὠφεληθήσεται
ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον

(21) [10] ואין השבעה לחם לא לארבעת אלפי וכמה
(22) סלים נשאתם [11] ולמה לא תתבוננו כי לא על
(23) הלחם אמרתי לכם השמרו ממחמצת הפרושים
(24) והצדיקים [12] אז שמעו ובננו כי לא אמר להשמר
(25) ממחמצת לחם כי אם מתלמוד הפרושים והצדיקים[186]

Page 38

(1) [13] ויבא ישו בגבולי ציש‌ריאה[187] פיליפוס וישאל לכל לאחד[188]
(2) מתלמידיו לאמר את מי יאמרו בני האדם היות[189]
(3) בן האדם [14] ויאמרו קצת את יוחנן הטובל וקצת
(4) את אליה ואחרים את ירמיהו או אחד מן
(5) הנביאים :[190] [15] ויאמר אליהם ישו ואתם אותי
(6) מי תאמרו היות :[191] [16] ויען שמעון כיפה לאמור
(7) אתה הוא משיח בן אלהים חי[192] [17] ויען ישו ויאמר
(8) לו אשריך שמעון בן יונה כי לבשר ודם לא נגלה
(9) זה כי לך שנגלה לך מאבי שהוא בשמים
(10) [18] ואני אומר לך כי אתה כיפה ועל הכיפה הזאת
(11) אבנה את מקהלי[193] ושערי תחתיות לא יגברו עליך[194]
(12) [19] ולך אתן מפתחי מלכות שמים וכל מה שתאסור
(13) בארץ יהיה אסור בשמים וכל מה שתתיר בארץ
(14) יהיה מותר בשמים :[195] [20] אז צוה לתלמידיו שלא
(15) אמרו לשום אדם שהוא ישו המשיח [21] ואז התחיל
(16) ישו להודיע לתלמידיו כי היה צריך ללכת לירושלם
(17) ולסבול שם יסורים רבים וגידופים רבים
(18) מהזקנים והסופרים ומאת שרי הכהנים וליגרה
(19) שם ולקום ביום השלישי [22] ויקחהו כיפה ויחל
(20) להוכיח אותו לאמר חלילה לך אדני לא יהיה לך
(21) כל זה [23] וישב הוא ויאמר אל כיפה לך אחרי
(22) שטן אתה הוא לי מכשול כי לא תטעם אותם
(23) אשר הם לאלהים אלא אותם אשר הם לאנשים
(24) [24] אז אמר ישו לתלמידיו מי שירצה ללכת אחרי
(25) ימאס את עצמו וישא את צליבו וילך אחרי :[196] [25] כי

Page 39

(1) מי שיחפוץ להושיע את נפשו הוא יאבד אותה
(2) ומי שיאבד את נפשו למעני הוא ימצאנה
(3) [26] כי מה יועיל לאדם אם יקנה את כל העולם

κερδήσῃ τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος
ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; 27 μέλλει γὰρ ὁ υἱὸς τοῦ
ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν
ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν
αὐτοῦ. 28 ἀμὴν λέγω ὑμῖν ὅτι εἰσίν τινες τῶν ὧδε ἑστώτων
οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ
ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

17·1 Καὶ μεθ᾽ ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον
καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀναφέρει
αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν. 2 καὶ μετεμορφώθη
ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος,
τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. 3 καὶ ἰδοὺ ὤφθη
αὐτοῖς Μωϋσῆς καὶ Ἠλίας συλλαλοῦντες μετ᾽ αὐτοῦ. 4
ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν τῷ Ἰησοῦ· κύριε, καλόν ἐστιν
ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσω ὧδε τρεῖς σκηνάς, σοὶ μίαν
καὶ Μωϋσεῖ μίαν καὶ Ἠλίᾳ μίαν. 5 ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ
νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς, καὶ ἰδοὺ φωνὴ ἐκ τῆς
νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ
εὐδόκησα· ἀκούετε αὐτοῦ. 6 καὶ ἀκούσαντες οἱ μαθηταὶ ἔπεσαν
ἐπὶ πρόσωπον αὐτῶν καὶ ἐφοβήθησαν σφόδρα. 7 καὶ προσῆλθεν
ὁ Ἰησοῦς καὶ ἁψάμενος αὐτῶν εἶπεν· ἐγέρθητε καὶ μὴ φοβεῖσθε.
8 ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον εἰ μὴ αὐτὸν
Ἰησοῦν μόνον. 9 Καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους
ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· μηδενὶ εἴπητε τὸ ὅραμα ἕως
οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἐγερθῇ. 10 Καὶ ἐπηρώτησαν
αὐτὸν οἱ μαθηταὶ λέγοντες· τί οὖν οἱ γραμματεῖς λέγουσιν ὅτι
Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον; 11 ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἠλίας μὲν
ἔρχεται καὶ ἀποκαταστήσει πάντα· 12 λέγω δὲ ὑμῖν ὅτι Ἠλίας
ἤδη ἦλθεν, καὶ οὐκ ἐπέγνωσαν αὐτὸν ἀλλὰ ἐποίησαν ἐν αὐτῷ
ὅσα ἠθέλησαν· οὕτως καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν
ὑπ᾽ αὐτῶν. 13 τότε συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ
βαπτιστοῦ εἶπεν αὐτοῖς.
14 Καὶ ἐλθόντων πρὸς τὸν ὄχλον προσῆλθεν αὐτῷ ἄνθρωπος
γονυπετῶν αὐτὸν 15 καὶ λέγων· κύριε, ἐλέησόν μου τὸν υἱόν,
ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει· πολλάκις γὰρ πίπτει εἰς τὸ
πῦρ καὶ πολλάκις εἰς τὸ ὕδωρ. 16 καὶ προσήνεγκα αὐτὸν τοῖς
μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι. 17
ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· ὦ γενεὰ ἄπιστος καὶ
διεστραμμένη, ἕως

(4) ובנפשו נזק ישא או איזו תמורה יתן האדם תחת
(5) נפשו [27] כי בן האדם יבא בכבוד אביו עם מלאכיו
(6) ואז ישלם לכל איש איש כפי מעשיו [28] אמן אני אומר
(7) לכם יש מן העימדים פה שלא מות עד
(8) שיראו בן האדם הבאה מלכותו

Chapter 17

(9) **ואחרי** ששת ימים לקח ישו את כיפה
(10) ואת יעקב ואת יוחנן אחיו ויעל
(11) אותם על הר גבוה לבדם
(12) [2] ויצטיירו פניו לפניהם ויגהו פניו כמו שמש
(13) ובגדיו היו לבנים כמו שלג [3] והנה נראו אליהם
(14) משה ואליהו המדברים אתו [4] ויען כיפה ויאמר
(15) אל ישו אדני טוב הוא לנו להיותנו פה אם
(16) תרצה נעשה פה שלשה אהלים לך אחד למשה
(17) אחד ולאליהו אחד [5] עודם מדברים והנה ענן
(18) מזהיר סכך עליהם והנה קול מהענן אמר
(19) הזה הוא בני אהובי אשר רציתי אותו שמעו
(20) [6] וישמעו התלמידים ויפלו על פניהם וייראו מאד
(21) [7] ויגש ישו ויגע בהם ויאמר אליהם קומו ואל תיראו
(22) [8] וישאו את עיניהם ולא ראו כי אם ישו לבדו :[197]
(23) [9] וכשירדו מן ההר צוה אותם ישו לאמר לא תאמרו
(24) לשום אדם את המראה אשר ראיתם עד שיקנם
(25) בן האדם מן המתים :[198] [10] וישאלו לו התלמידים לאמר

Page 40

(1) ומה יאמרו הסופרים כי הצטרך אליהו לבא בתחילה
(2) [11] והוא ענה ויאמר להם אכן אליהו יבא וישיב הכל
(3) [12] ואני אומר לכם כי אליהו כבר בא ולא ידעוהו
(4) אבל עשו ממנו כל אשר בחרו וכן בן האדם[199]
(5) יקבל וישא יסורים מהם [13] אז שמעו ויבוננו
(6) התלמידים כי היה מדבר למען הטובל יוחנן
(7) דבר עמהים [14] וכשבא על הכיתה קרב אליו
(8) אדם אחד ויכרע לפניו על ברכיו [15] לאמר אדני
(9) רחם על בני כי נופל הוא ומאותו החולי הוא
(10) מענה מאד כי פעמים הרבה נופל באש
(11) ופעמים הרבה נופל במים [16] ואגיש אותו אל
(12) תלמידך[200] ולא יכלו לרפא אותו [17] ויען ישו ויאמר
(13) הדור סורד ועקש עד מתי אהיה עמכם ועד

πότε μεθ' ὑμῶν ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετέ μοι αὐτὸν ὧδε. 18 καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης. 19 Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν εἶπον· διὰ τί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; 20 ὁ δὲ λέγει αὐτοῖς· διὰ τὴν ὀλιγοπιστίαν ὑμῶν· ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· μετάβα ἔνθεν ἐκεῖ, καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. 22 Συστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, 23 καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. καὶ ἐλυπήθησαν σφόδρα.

24 Ἐλθόντων δὲ αὐτῶν εἰς Καφαρναοὺμ προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ καὶ εἶπαν· ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ [τὰ] δίδραχμα;

25 λέγει· ναί. καὶ ἐλθόντα εἰς τὴν οἰκίαν προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων· τί σοι δοκεῖ, Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσιν τέλη ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων; 26 εἰπόντος δέ· ἀπὸ τῶν ἀλλοτρίων, ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί. 27 ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς θάλασσαν βάλε ἄγκιστρον καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

18·1 Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες· τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; 2 καὶ προσκαλεσάμενος παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν 3 καὶ εἶπεν· ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. 4 ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. 5 καὶ ὃς ἐὰν δέξηται ἓν παιδίον τοιοῦτο ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται.
6 Ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. 7 Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη γὰρ ἐλθεῖν τὰ σκάνδαλα, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ δι' οὗ τὸ σκάνδαλον ἔρχεται. 8 Εἰ δὲ ἡ χείρ σου

(14) מתי אסבול אתכם הביאו אותו אלי [18] ויגער
(15) בו ישו ויצא ממנו השד ונירפה הנער באותה
(16) השעה :[201] [19] אז קרבו אליו התלמידים בסתר וישאלו
(17) לו למה לא יכולנו אנחנו אותו [20] ויען
(18) להם ויאמר בעבור שאין אתם מאמינים אמן
(19) אני אומר לכם אם תהיה לכם אמונה כמו
(20) גרעין הרדל ותאמרו להר הזה עבור מזה ומיד
(21) יעבור ולא ימנע אותו ודבר מכם [21] וזה מין
(22) לא ישלח כי אם בתפילה ובצום [22] וכשהלכו
(23) אל הבליל דבר אלהים ישו ויאמר בן האדם
(24) ימסר לידי האדם [23] ויהרגהו וביום השלישי יקום
(25) והם התעצבו מאד [24] יכשבאו על כפר נחום

Page 41

(1) קרבו אשר לקחו דרכמון על כיפה ויאמרו לו מלמדכם
(2) השלם דרכמון [25] ויאמר גם וכשבא בבית קידם
(3) אותו ישו לאמר מה נראה אלך שמעון מלכי
(4) הארץ ממי יקחו מס ותרומה מבניהם או מן
(5) הנכרים [26] והוא אמר מן הנכרים ויאמר אליו
(6) ישו אם כן חפשים הם הבנים [27] ובעבוד שלא
(7) נכעיסם לך אל הים ושלחאת המצודה
(8) וקח הדג אשר בראשון יעלה ותפתה פיהו
(9) ותמצא לטר אותו תקח ותתן להם בעבורי
(10) ובעבורך :[202]

Chapter 18

(11) **בשעה** ההיא קרבו התלמידים
(12) אל ישו לאמר מי יהיה
(13) גדול במלכות שמים
(14) [2] ויקרא ישו לנער אחד ויעמידו בתוכם [3] ויאמר
(15) אמן אני אומר לכם אם לו תשובו ותהיו כמו
(16) נערים לא תבואו על מלכות שמים [4] וכל מי
(17) שישתפל כמו נער זה הוא יהיה גדול במלכות
(18) שמים [5] ומי שיקח נער אחד כזה בשמי הוא
(19) יקח אותי [6] ומי שיכשיל אחד מן הצעירים
(20) האלא שיאמינו בי טוב לו שיתלה בצוארו רכב
(21) החמד להשליכו במצודה הים [7] אוי לעולם
(22) ממכשולים צריך הוא שיבואו מכשולים אך
(23) אני לו לאדם שממנו יבא מכשול :[203] [8] ואם ידך

ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν κυλλὸν ἢ χωλὸν ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον.

9 καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καλόν σοί ἐστιν μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός. 10 Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. 12 Τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφήσει τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τὰ ὄρη καὶ πορευθεὶς ζητεῖ τὸ πλανώμενον; 13 καὶ ἐὰν γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν ὅτι χαίρει ἐπ᾽ αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα τοῖς μὴ πεπλανημένοις. 14 οὕτως οὐκ ἔστιν θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς ἵνα ἀπόληται ἓν τῶν μικρῶν τούτων. 15 Ἐὰν δὲ ἁμαρτήσῃ [εἰς σὲ] ὁ ἀδελφός σου, ὕπαγε ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· 16 ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα· 17 ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. 18 Ἀμὴν λέγω ὑμῖν· ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν οὐρανῷ, καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς ἔσται λελυμένα ἐν οὐρανῷ.
19 Πάλιν [ἀμὴν] λέγω ὑμῖν ὅτι ἐὰν δύο συμφωνήσωσιν ἐξ ὑμῶν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. 20 οὗ γάρ εἰσιν δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.

21 Τότε προσελθὼν ὁ Πέτρος εἶπεν αὐτῷ· κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; 22 λέγει αὐτῷ ὁ Ἰησοῦς· οὐ λέγω σοι ἕως ἑπτάκις ἀλλὰ ἕως ἑβδομηκοντάκις ἑπτά.
23 Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία

(24) או רגלך תכשילך קצץ אותה והשלך ממך
(25) כי טוב לך לבוא על החיים חלש או פסח מהשלח

Page 42

(1) עם ידים ורגלים אל אש עולמית [9] ואם עינך ת[204]
(2) תכשולך נקר אותה והשלח ממך כי טוב לך לבוא
(3) בעין אתה על החיים מהשלח בעינים על אש של
(4) גיהנם [10] ראו שלא תבזו אחד מן הצעירים האלה
(5) [11] כי אני אומר לכם שמלאכיהם בשמים תמיד
(6) יראו את פני אבי שבשמים כי בן האדם[205] להושיע
(7) מה שאבד [12] מה נראה לכם אם יהיו לאיש מאה[206]
(8) ונאבדה אחת מהן הלא יעזוב איש תשעים
(9) ותשע הצאן כמדבר וילך לבקש אותה אשר
(10) נאבדה :[207] [13] ואם יהיה שימצא אותה אמן אני
(11) אומר לכם כי ישמח עליה יותר מהתשעים
(12) ותשע האחרים אשר לו תעו [14] כן אין רצון לפני
(13) אביכם שבשמים שיאבד אחד מן הצעירים
(14) האלה [15] ואם יחטא בך אחיך לך והוכיח אותו
(15) ביניך ובניהו לבדו ואם ישמעך תוריח את
(16) אחיך [16] ואם לא ישמעך קח לך עד אחד או שנים
(17) כדי שעל פי שנים או שלשה עדים יקום כל
(18) דבר [17] ואם לא ישמע אותם בקהל אמור לו
(19) ואם ימאן לשמוע בקהל יהי לך כמו גוי ובעל
(20) העברה [18] אמן אני אומר לכם כל מה אשר
(21) תאסרו על הארץ הם יהיו אסורים גם בשמים
(22) וכל מה שתתירו על הארץ הם יהיו מותרים
(23) גם בשמים [19] עוד אמר לכם אם שנים מכם
(24) ובואו אחת על הארץ מכל הדבר אשר ישאלו
(25) יהיה להם מאבי אשר הוא בשמים [20] כי בכל

Page 43

(1) מקום ששם יקהלו שנים או שלשה בשמי שם
(2) אני בתוכם :[208] [21] אז קרא כיפה איליו ויאמר
(3) אדני כמה פעמים יחטא בי אחי ואסלח לו
(4) עד שבע פעמים [22] ויאמר אליו ישו לא אומר
(5) לך עד שבע פעמים כי אם עד שבעים
(6) שבע פעמים :[209] [23] ועל כן נדמתה מלכות

τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησεν συναῖραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. 24 ἀρξαμένου δὲ αὐτοῦ συναίρειν προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. 25 μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι ἐκέλευσεν αὐτὸν ὁ κύριος πραθῆναι καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ πάντα ὅσα ἔχει, καὶ ἀποδοθῆναι. 26 πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ λέγων· μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα ἀποδώσω σοι. 27 σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου ἀπέλυσεν αὐτὸν καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. 28 ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, καὶ κρατήσας αὐτὸν ἔπνιγεν λέγων· ἀπόδος εἴ τι ὀφείλεις. 29 πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ παρεκάλει αὐτὸν λέγων· μακροθύμησον ἐπ' ἐμοί, καὶ ἀποδώσω σοι. 30 ὁ δὲ οὐκ ἤθελεν ἀλλὰ ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακὴν ἕως ἀποδῷ τὸ ὀφειλόμενον. 31 ἰδόντες οὖν οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα ἐλυπήθησαν σφόδρα καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ ἑαυτῶν πάντα τὰ γενόμενα. 32 τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ λέγει αὐτῷ· δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· 33 οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς κἀγὼ σὲ ἠλέησα;

34 καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. 35 οὕτως καὶ ὁ πατήρ μου ὁ οὐράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν.

19·1 Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, μετῆρεν ἀπὸ τῆς Γαλιλαίας καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου. 2 καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ.
3 Καὶ προσῆλθον αὐτῷ Φαρισαῖοι πειράζοντες αὐτὸν καὶ λέγοντες· εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; 4 ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἀνέγνωτε ὅτι ὁ κτίσας ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς; 5 καὶ εἶπεν· ἕνεκα τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. 6 ὥστε οὐκέτι εἰσὶν δύο ἀλλὰ σὰρξ μία. ὃ οὖν ὁ θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω. 7 λέγουσιν αὐτῷ· τί οὖν Μωϋσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου

(7) שמים לאדם מלך אשר רצה לעשות חשבון
(8) עם עבדיו [24] וכשהחל לעשות החשבון הוגש
(9) אליו אחד אשר חיב לתת לו רבוא מנים [25] וכשלא
(10) היה לו מאין ישלם צוה אדניו למכור אותו
(11) ואשתו ובנים וכל אשר לו עד שיהיה לו כל
(12) התשלום שחיב לו [26] ויכרע העבד ההוא ויתחנן
(13) אליו לאמר המתין לי ואבי אשלם לך הכל [27] ויחנן
(14) האדון לעבדו ויניחו ויסלח את חובו :[210] [28] ויצא
(15) העבד הזה וימצא אחד מאלה שהיו עבדים
(16) כמוהו וזה היה חיב לתת לו מאה מעות ויאחוז
(17) אותו ויחזק בו לאמור שלם מה שאתה חיב לתת
(18) לי [29] ויכרע העבד ההוא ויתחנן לו לאמר המתן
(19) לי ואני אשלם לך הכל [30] והוא מאן וילך ושלח
(20) אותו בבית האסורים עד שישלם את כל חובו
(21) [31] ויראו עבדים אחרים מה שעשה ויתעצבו מאד
(22) ויבאו ויספרו לאדונם את כל אשר היה :[211] [32] אז
(23) קרא לו אדוניו ויאמר אליו עבד בליעל הנה
(24) סלחתי לך כל החוב כי התחננה אלי [33] והלא
(25) גם אתה הצטרכת לחנן לעבד הדומה לך כמו

Page 44

(1) אני שחננתי עליך [34] ויחר אף אדוניו וימסר אתו
(2) בבית האסורים עד שישלם כל חובו [35] כן אבי שבשמים
(3) יעשה לכם אם לו תסלחו איש לאחיו מן לבותיכם
(4) אשמתם

Chapter 19

(5) **ויהי** אחרי אשר כלה ישו לדבר את הדברים
(6) האלה הלך מן הגליל ויבא על גוולי
(7) יהודה בעבר הירדן [2] וילכו אחריו כיתות
(8) רבות וירפאם שם [3] ויגשו אליו הפרושים וינסוהו
(9) לאמר אם מותר לשלח את אשתו בעבור
(10) כל דבר [4] והוא ענה ויאמר אליהם הלא קראתם
(11) כי מי שעשה את האדם מראשית זכר ונקבה
(12) עשה אותם [5] ויאמר על כן יעזוב איש את אביו
(13) ואת אמו ודבק באשתו והיו לבשר אחד [6] ועתה
(14) אין הם שנים אלא בשר אחד לבד לכן את מה
(15) שחבר האלהים האדם לא יוכל להפריד [7] והם
(16) אמרו ולמה ציוה משה לתת ספר כריתות

καὶ ἀπολῦσαι [αὐτήν]; 8 λέγει αὐτοῖς ὅτι Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν, ἀπ᾽ ἀρχῆς δὲ οὐ γέγονεν οὕτως. 9 λέγω δὲ ὑμῖν ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ μὴ ἐπὶ πορνείᾳ καὶ γαμήσῃ ἄλλην μοιχᾶται. 10 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ [αὐτοῦ]· εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι. 11 ὁ δὲ εἶπεν αὐτοῖς· οὐ πάντες χωροῦσιν τὸν λόγον [τοῦτον] ἀλλ᾽ οἷς δέδοται. 12 εἰσὶν γὰρ εὐνοῦχοι

(17) ולשלח אותה אם לא ישרה בעיניו [8] ויען להם
(18) ויאמר כי משה בשביל קושילבבכם הניח לשלחכם
(19) נשיכם אבל מראשית לא היה כן [9] ואני אומר
(20) לכם כי כל איש ששלח או שישלח את אשתו
(21) כי אם על דבר זנות ויקח אחרת ניאף ומי
(22) שיקח את המגורשת הוא גם כן[212] ניאף [10] ויאמר לו
(23) תלמידיו אם כן יש דבר האדם באישה שלא
(24) טוב להתחתן [11] והוא אמר אליהם לא הכל יתפשו
(25) הדבר הזה כי אם הם לאשר נתון [12] כי יש סריסים

Page 45

οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ὁ δυνάμενος χωρεῖν χωρείτω. 13 Τότε προσηνέχθησαν αὐτῷ παιδία ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς καὶ προσεύξηται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. 14 ὁ δὲ Ἰησοῦς εἶπεν· ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. 15 καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῖς ἐπορεύθη ἐκεῖθεν. 16 Καὶ ἰδοὺ εἷς προσελθὼν αὐτῷ εἶπεν· διδάσκαλε, τί ἀγαθὸν ποιήσω ἵνα σχῶ ζωὴν αἰώνιον; 17 ὁ δὲ εἶπεν αὐτῷ· τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; εἷς ἐστιν ὁ ἀγαθός· εἰ δὲ θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν, τήρησον τὰς ἐντολάς. 18 λέγει αὐτῷ· ποίας; ὁ δὲ Ἰησοῦς εἶπεν· τὸ οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, 19 τίμα τὸν πατέρα καὶ τὴν μητέρα, καί ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. 20 λέγει αὐτῷ ὁ νεανίσκος· πάντα ταῦτα ἐφύλαξα· τί ἔτι ὑστερῶ; 21 ἔφη αὐτῷ ὁ Ἰησοῦς· εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς [τοῖς] πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι. 22 ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον ἀπῆλθεν λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά. 23 Ὁ δὲ Ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ· ἀμὴν λέγω ὑμῖν ὅτι πλούσιος δυσκόλως εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. 24 πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν ἢ πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. 25 ἀκούσαντες δὲ οἱ μαθηταὶ ἐξεπλήσσοντο σφόδρα λέγοντες· τίς ἄρα δύναται σωθῆναι; 26 ἐμβλέψας δὲ

(1) אשר הם מבטן אמם כן נולדו ויש סריסים אשר
(2) נעשו מן האדם ויש סריסים אשר עצמם סרסו
(3) בעבור מלכות השמים מי שיוכל לתפוש יתפוש
(4) [13] אז הוגשו אליו נערים כדי שישים ידים עליהם
(5) ויתפלל ותלמידיו הוכיחו אותם [14] וישו אמר אליהם
(6) הניחו נערים ואל תמנעו אותם לבוא אלי כי לאלה
(7) יש מלכות שמים [15] וכשהשים עליהם הידים הלך
(8) משם [16] והנה קרב אחד ויאמר לו רבי טוב ומה
(9) טובה אעשה כדי שאקנה חיי העולם הבא
(10) [17] ויאמר לו מה תשאל לי על הטובה אין טוב
(11) אלא אחד יש טוב והוא האל[213] ואם תחפוץ לבא
(12) אל חיי העולם הבא שמור מצוות האל[214] [18] ויאמרו[215]
(13) לו ומה ויען ישו ויאמר לא תרצה לא תנאף לא
(14) תגנב לא תענה ברעך עד שקר [19] כבד את אביך
(15) ואת אמך ואהבת לרעך כמוך [20] ויאמר לו הבחור
(16) כל אל שמרתי מנעורי ומה יחסר עוד לי [21] ויאמר
(17) אליו ישו אם תרצה להיות שלם לך ומכור את כל
(18) אשר לך יתן לעניים ויהיה לך אוצר בשמים ובא
(19) ולך אחרי [22] וישמע הבחור את הדבר וילך בעצבון
(20) כי היה לו ירושה רבה [23] וישו אמר על תלמידיו אמן
(21) אני אומר לכם כי העשיר בקושי יבא אל מלכות
(22) שמים [24] ועוד אני אומר לכם קל הוא לעבור הגמל
(23) בעד חור המחט יותר מלבא העשיר אל מלכות
(24) שמים [25] וכששמעו התלמידים את הדברים האלה
(25) תמהו מאד לאמר ומי יוכל להושע [26] ויבט אליהם

ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστιν, παρὰ δὲ θεῷ πάντα δυνατά. 27 Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν; 28 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθήσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. 29 καὶ πᾶς ὅστις ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήμψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει. 30 πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι.

20·1 Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωὶ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. 2 συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. 3 καὶ ἐξελθὼν περὶ τρίτην ὥραν εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς 4 καὶ ἐκείνοις εἶπεν· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. 5 οἱ δὲ ἀπῆλθον. πάλιν [δὲ] ἐξελθὼν περὶ ἕκτην καὶ ἐνάτην ὥραν ἐποίησεν ὡσαύτως. 6 περὶ δὲ τὴν ἑνδεκάτην ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας καὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; 7 λέγουσιν αὐτῷ· ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. λέγει αὐτοῖς· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα. 8 ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ ἀμπελῶνος

τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. 9 καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ δηνάριον. 10 καὶ ἐλθόντες οἱ πρῶτοι ἐνόμισαν ὅτι πλεῖον λήμψονται· καὶ ἔλαβον [τὸ] ἀνὰ δηνάριον καὶ αὐτοί. 11 λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου 12 λέγοντες· οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. 13 ὁ δὲ ἀποκριθεὶς ἑνὶ αὐτῶν εἶπεν· ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; 14 ἆρον τὸ σὸν καὶ ὕπαγε. θέλω

(1) ישו ויאמר אצל האנשים אי אפשר זאת אבל לאלהים
(2) כל הם אפשרים [27] אז ענה כיפה ויאמר לו הננו
(3) עזבנו את הכל ונלך אחריך ומה יהיה לנו [28] ויאמר
(4) אליהם ישו אמן אני אומר לכם שאתם אשר הלכתם
(5) אחרי בתולדה השנית כשישב בן האדם על כסא
(6) כבודו תשבו גם אתם כסאות שתים עשרה
(7) ותשפטו את שנים עשר שבטי ישראל
(8) [29] וכל מי שיעזוב את הבית או אחים או אחיות או האב
(9) או האם או האשה או הבנים או השדות בעבור
(10) שמי הוא מאה יקח ואת החיים הנצחיים יירש
(11) [30] ורבים מן הראשונים יהיו אחרנים והאחרונים
(12) יהיו ראשונים :[216]

Chapter 20

(13) **נרמתה** מלכות שמים לאדם בעל
(14) הבית אשר יצא בתחילה
(15) בבוקר לשכור פועלים
(16) לעבוד את כרמו [2] והחנה עמם בעד זוז כל
(17) היום[217] וילשח אותם לכרמו [3] ויצא בשעה השלישית
(18) וירא אחרים העומדים בשוק בטלים [4] ויאמר
(19) אליהם לכו גם אתם לכרמו ומה שהוא ישר
(20) אתן לכם [5] והם הלכו עוד יצא בשעה ששית
(21) תשעית ויעש כמו כן [6] ובשעת עשתי עשרה יצא
(22) וימצא אחרים עומדים ויאמר להם למה אתה
(23) עומדים עה בטלים כל היום [7] והם אמרו אליו
(24) אין אדם שוכר אותנו ויאמר אליהם לכו
(25) אתם לכרמי [8] וכשהיה ערב אמר אדון הכרם

Page 47

(1) למפרנסו קרא לפועלים והשיב להם שכר ותחל[218]
(2) מהראשונים עד האחרונים [9] וכשבאו אלה אשר
(3) באו בשעת עשתי עשרה לקחו איש איש זוז :[219]
(4) [10] ויבאו הראשונים ויחשבו כי יקחו יותר מאלה ויקחו
(5) גם הם איש איש זוז [11] וכשלקחו לנו על בעל הבית
(6) [12] לאמר אלה האחרונים פעלו בשעה אחת והשוה
(7) אותם לכו שנשאנו משא היום וחום [13] והוא ענה
(8) לאחד מהם ויאמר אחי איני עושה לך חטס :[220]
(9) הלא על זוז התנית עמי [14] קח שלך ולך ורצוני לתת

δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί·15 [ἢ] οὐκ ἔξεστίν μοι ὃ
θέλω ποιῆσαι ἐν τοῖς ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν
ὅτι ἐγὼ ἀγαθός εἰμι; 16 οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι καὶ
οἱ πρῶτοι ἔσχατοι.
17 Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα παρέλαβεν τοὺς
δώδεκα [μαθητὰς] κατ' ἰδίαν καὶ ἐν τῇ ὁδῷ εἶπεν αὐτοῖς· 18
ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου
παραδοθήσεται τοῖς ἀρχιερεῦσιν καὶ γραμματεῦσιν, καὶ
κατακρινοῦσιν αὐτὸν θανάτῳ 19 καὶ παραδώσουσιν αὐτὸν τοῖς
ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι, καὶ τῇ
τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. 20 Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν
υἱῶν Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς προσκυνοῦσα καὶ αἰτοῦσά
τι ἀπ' αὐτοῦ. 21 ὁ δὲ εἶπεν αὐτῇ· τί θέλεις; λέγει αὐτῷ· εἰπὲ
ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ
εὐωνύμων σου ἐν τῇ βασιλείᾳ σου. 22 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς
εἶπεν· οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ
μέλλω πίνειν; λέγουσιν αὐτῷ· δυνάμεθα. 23 λέγει αὐτοῖς· τὸ
μὲν ποτήριόν μου πίεσθε, τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ
εὐωνύμων οὐκ ἔστιν ἐμὸν [τοῦτο] δοῦναι, ἀλλ' οἷς ἡτοίμασται
ὑπὸ τοῦ πατρός μου.
24 Καὶ ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν.
25 ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶπεν· οἴδατε ὅτι οἱ
ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι
κατεξουσιάζουσιν αὐτῶν. 26 οὐχ οὕτως ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς
ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι ἔσται ὑμῶν διάκονος, 27 καὶ
ὃς ἂν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος ἔσται ὑμῶν δοῦλος· 28 ὥσπερ
ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι ἀλλὰ διακονῆσαι
καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.
29 Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἰεριχὼ ἠκολούθησεν αὐτῷ
ὄχλος πολύς. 30 καὶ ἰδοὺ δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδόν
ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν λέγοντες· ἐλέησον
ἡμᾶς, [κύριε] υἱὸς Δαυίδ. 31 ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς ἵνα
σιωπήσωσιν· οἱ δὲ μεῖζον ἔκραξαν λέγοντες· ἐλέησον ἡμᾶς,
κύριε, υἱὸς Δαυίδ. 32 καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς καὶ
εἶπεν· τί θέλετε ποιήσω ὑμῖν; 33 λέγουσιν αὐτῷ· κύριε, ἵνα
ἀνοιγῶσιν οἱ ὀφθαλμοὶ ἡμῶν. 34 σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς
ἥψατο τῶν ὀμμάτων αὐτῶν, καὶ εὐθέως ἀνέβλεψαν καὶ
ἠκολούθησαν αὐτῷ.

21·1 Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα καὶ ἦλθον εἰς Βηθφαγὴ
εἰς τὸ ὄρος τῶν ἐλαιῶν,

(10) גם לאחרון הזה כמו לך [15] הלא מותר לי ועשות
(11) בעניני מה שארצה או עם רעה עינך כי אני
(12) טוב [16] כן יהיו אחרונים ראשונים וראשונים אחרונים
(13) כי רבים נקראו ומעטים נבחרו [17] ויעל ישו אל
(14) ירושלם ויקח את שנים עשר תלמידיו בסתר
(15) ויאמר אליהם [18] הנה אנחנו עולים אל ירושלם
(16) ובן האדם ימסר ליד שרי הכהנים והסופרים
(17) ויהיבוהו למות [19] וימסרוהו לגוים להתלוצץ ולהוסר
(18) ולהצלב וביום השלישי יקום [20] אז קרבה אליו אמם
(19) של בני זבדי עם בניה ותשתחו ותשאל ממנו
(20) [21] והוא אמר אליה מה תרצי ותאמר לו אמור
(21) שישבו אלו שני[221] בני אחד לימינך ואחד לשמאלך
(22) במלכותך [22] ויען ישו ויאמר לא ידעתם מה שתשאלו
(23) התוכלו לשתות הכוס אשר אשתה אני ולהטבל
(24) בטבילה שאטבל בה אני אמרו אליו נוכל :[222]
(25) [23] והוא אמר להם אכן את כוסי תשתו והטבלו

Page 48

(1) בטבילה שבה אני אטבל אך לשבת לימיני או
(2) לשמאלי איני הוא לי לתת לכם אלא שלהם נכון
(3) מן אבי [24] וישמעו עשרה ויכעסו על שני האחים
(4) [25] וישו קרא אותם לעצמו לאמור התדעו כי שרי
(5) הגוים ימשלו בהם והגדולים ישלטו ביניהם
(6) [26] לא כן יהיה ביניכם אלא כל מי שירצה ביניכם
(7) היות גדול הוא יהיה משרתכם [27] ואשר ירצה
(8) ביניכם היות ראשון הוא יהיה עבדכם [28] כמו בן
(9) האדם לא בא להשרת אלא לשרת ולתת את נפשו
(10) פדיון לרבים [29] וכשיצאו הם מן ירחו הלכה אחריו
(11) כיתה רבה [30] והנה שני עודים יצאו וישבו על הדרך
(12) וישמעו שיעבור ישו ויצעקו לאמר אדני חננו
(13) בן דוד [31] והכיתה הוכיתם ויאמרו להם החרישן
(14) והם יותר צעקו לאמר אדני חננו בן דוד :[223]
(15) [32] ויעמד ישו ויקרא להם לאמר מה תרצו ואעשה
(16) לכם [33] ויאמרו אליו אדני שתפקחנה עינינו [34] ויחון
(17) אותם ישו ויגע בעיניהם ומיד ראו וילכו אחריו :[224]

Chapter 21

(18) **וכאשר** קרבו לירושלם ויבאו אל
(19) בית פאגי אל הר הזתים

τότε Ἰησοῦς ἀπέστειλεν δύο μαθητὰς 2 λέγων αὐτοῖς·
πορεύεσθε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθέως
εὑρήσετε ὄνον δεδεμένην καὶ πῶλον μετ' αὐτῆς· λύσαντες
ἀγάγετέ μοι. 3 καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ κύριος
αὐτῶν χρείαν ἔχει· εὐθὺς δὲ ἀποστελεῖ αὐτούς. 4 τοῦτο δὲ
γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· 5
εἴπατε τῇ θυγατρὶ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραὺς
καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ ἐπὶ πῶλον υἱὸν ὑποζυγίου.

6 πορευθέντες δὲ οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς συνέταξεν
αὐτοῖς ὁ Ἰησοῦς 7 ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον καὶ
ἐπέθηκαν ἐπ' αὐτῶν τὰ ἱμάτια, καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν. 8
ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ,
ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν
τῇ ὁδῷ. 9 οἱ δὲ ὄχλοι οἱ προάγοντες αὐτὸν καὶ οἱ
ἀκολουθοῦντες ἔκραζον λέγοντες· ὡσαννὰ τῷ υἱῷ Δαυίδ·
εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· ὡσαννὰ ἐν τοῖς
ὑψίστοις.
10 Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ
πόλις λέγουσα· τίς ἐστιν οὗτος; 11 οἱ δὲ ὄχλοι ἔλεγον· οὗτός
ἐστιν ὁ προφήτης Ἰησοῦς ὁ ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας. 12 Καὶ
εἰσῆλθεν Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐξέβαλεν πάντας τοὺς
πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν
κολλυβιστῶν κατέστρεψεν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς
περιστεράς, 13 καὶ λέγει αὐτοῖς· γέγραπται· ὁ οἶκός μου
οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν ποιεῖτε σπήλαιον
λῃστῶν.
14 καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ, καὶ
ἐθεράπευσεν αὐτούς. 15 ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ
γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησεν καὶ τοὺς παῖδας τοὺς
κράζοντας ἐν τῷ ἱερῷ καὶ λέγοντας· ὡσαννὰ τῷ υἱῷ Δαυίδ,
ἠγανάκτησαν 16 καὶ εἶπαν αὐτῷ· ἀκούεις τί οὗτοι λέγουσιν; ὁ
δὲ Ἰησοῦς λέγει αὐτοῖς· ναί. οὐδέποτε ἀνέγνωτε ὅτι ἐκ
στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; 17 καὶ
καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν καὶ
ηὐλίσθη ἐκεῖ. 18 Πρωὶ δὲ ἐπανάγων εἰς τὴν πόλιν ἐπείνασεν.
19 καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ' αὐτὴν καὶ οὐδὲν
εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον, καὶ λέγει αὐτῇ· μηκέτι ἐκ σοῦ
καρπὸς γένηται εἰς τὸν αἰῶνα. καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ.
20 Καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν λέγοντες· πῶς
παραχρῆμα ἐξηράνθη ἡ συκῆ; 21 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν
αὐτοῖς· ἀμὴν λέγω ὑμῖν,

(20) אז שלח ישו שני תלמידים
(21) [2] ויאמר אליהם לכו אל הטירה שהיא לפניכם ופתאום
(22) תמצאו שם אתון אסורה ועיר אצלה התירו
(23) והגישו אלי [3] ואם איש מה יאמר אליכם אמרו כי
(24) אדני הצטרך בם ומיד יניח אותם [4] ואזאת היתה
(25) שיתקיים מה שנאמר על ידי הנביא האומר [5] אמרו

Page 49

(1) לבת ציון הנה מלכך יבוא לך עני ורוכב על חמור
(2) ועל עיר בן אתונות [6] וילכו התלמידים ויעשו כמו
(3) שצוה אותם ישו [7] ויגישו את האתון ואת העיר
(4) וישימו עליהם בגדיהם וירכיבו אותו ממעל [8] ורב
(5) הכיתה פשטו בגדיהם בדרך ואחרים כרתו ענפי
(6) עצים ויציעו בדרך [9] והכיתות אשר הלכו
(7) לפניו ואחריו קראו לאמר הושענה לבן דוד ברוך
(8) אשר בא בשם יי[225] הושענה בעליונות [10] וכשבא
(9) אל ירושלם רעשה כל העיר לאמר מי הוא זה
(10) [11] ועמים אמרו הוא ישו הנביא מן נצרת מהגליל
